**16.** Καὶ μὴν τῶν γε νουθεσιῶν καὶ τῶν ἐπιπλήξεων οὔτε
ἀναλγήτως οὔτε ἀνάνδρως ἀκουστέον. οἵ τε γὰρ εὐκόλως καὶ
ὀλιγώρως τὸ κακῶς ἀκούειν ὑπὸ τῶν φιλοσόφων φέροντες,
ὥστε καὶ γελᾶν ἐλεγχόμενοι καὶ τοὺς ἐλέγχοντας ἐπαινεῖν,
ὥσπερ οἱ παράσιτοι τοὺς τρέφοντας, ὅταν ὑπ' αὐτῶν λοιδο-
ρῶνται, παντάπασιν ἰταμοὶ καὶ θρασεῖς ὄντες, οὐ καλὴν οὐδ'
ἀληθῆ διδόασιν ἀπόδειξιν ἀνδρείας τὴν ἀναισχυντίαν. σκῶμμα
μὲν γὰρ ἀνύβριστον ἐν παιδιᾷ τινι μετ' εὐτραπελίας ἀφειμένον
ἐνεγκεῖν ἀλύπως καὶ ἱλαρῶς οὐκ ἀγεννὲς οὐδὲ ἀπαίδευτον ἀλλ' D
ἐλευθέριον πάνυ καὶ Λακωνικόν ἐστιν· ἐπαφῆς δὲ καὶ νου-
θεσίας πρὸς ἐπανόρθωσιν ἤθους ὥσπερ φαρμάκῳ δάκνοντι
λόγῳ χρωμένης ἐλέγχοντι μὴ συνεσταλμένον ἀκούειν μηδ' ἱδρῶ-
τος καὶ ἰλίγγου μεστόν, αἰσχύνῃ φλεγόμενον τὴν ψυχήν, ἀλλ'
ἄτρεπτον καὶ σεσηρότα καὶ κατειρωνευόμενον, ἀνελευθέρου
τινὸς δεινῶς καὶ ἀπαθοῦς πρὸς τὸ αἰδεῖσθαι νέου διὰ συν-
ήθειαν ἁμαρτημάτων καὶ συνέχειαν, ὥσπερ ἐν σκληρᾷ σαρκὶ
καὶ τυλώδει τῇ ψυχῇ μώλωπα μὴ λαμβάνοντος. τούτων δὲ
τοιούτων ὄντων οἱ τὴν ἐναντίαν διάθεσιν ἔχοντες νέοι κἂν
ἅπαξ ποτὲ κακῶς ἀκούσωσι, φεύγοντες ἀνεπιστρεπτὶ καὶ δρα- E
πετεύοντες ἐκ φιλοσοφίας, καλὴν ἀρχὴν πρὸς τὸ σωθῆναι τὸ
αἰδεῖσθαι παρὰ τῆς φύσεως ἔχοντες, ἀπολλύουσι διὰ τρυφὴν
καὶ μαλακίαν, οὐκ ἐγκαρτεροῦντες τοῖς ἐλέγχοις οὐδὲ τὰς
ἐπανορθώσεις δεχόμενοι γεννικῶς, ἀλλ' ἐπὶ τὰς προσηνεῖς καὶ
ἁπαλὰς ἀποστρέφοντες ὁμιλίας τὰ ὦτα, κολάκων τινῶν ἢ σο-
φιστῶν ἀνωφελεῖς καὶ ἀνονήτους ἡδείας δὲ φωνὰς καταδόν-
των. ὥσπερ οὖν ὁ μετὰ τὴν τομὴν φεύγων τὸν ἰατρὸν καὶ τὸν
ἐπίδεσμον μὴ προσιέμενος τὸ μὲν ἀλγεινὸν ἀνεδέξατο, τὸ δ'
ὠφέλιμον οὐχ ὑπέμεινε τῆς θεραπείας, οὕτως ὁ τῷ χαράξαντι F
καὶ τρώσαντι λόγῳ τὴν ἀβελτερίαν ἀπουλῶσαι καὶ καταστῆσαι
μὴ παρασχὼν ἀπῆλθε δηχθεὶς καὶ ἀλγήσας ἐκ φιλοσοφίας,

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391017X/99 UNIVERSITÄT LEIPZIG